www.e-rara.ch

Demosthenis et Aeschinis principum Graeciae oratorum opera

Demosthenes

Basileae, [1571-]1572

Universitätsbibliothek Basel

Persistent Link: https://doi.org/10.3931/e-rara-98668

Enarratio In Olynthiacam Tertiam Demosthenis Orationem, Hieronymo Wolfio interprete

www.e-rara.ch
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

Nutzungsbedingungen Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

Terms of Use This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

Conditions d'utilisation Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

Condizioni di utilizzo Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

δέκα οὖν οὐσῶν φυλῶν καὶ ἑκάστης προβαλλομένης ἀπὸ ἑκατὸν εἴκοσι, συνέβη τοὺς πάντας εἶναι λειτουργοὺς, χιλίους διακοσίους. ἐμέριζον οὖν αὐτοὺς ἀπὸ ἑξακοσίων ἀνδρῶν. ὅ ἐστιν ἀπὸ δέκα συμμοριῶν. πάλιν δὲ ἑκατέραν τῶν δύο μερίδων τούτων, ἔτεμνον εἰς δύο. ὅ ἐστιν, εἰς τριακοσίους μετὰ ἄνδρας, κατὰ πέντε δὲ συμμορίας. οὗτοι δὲ ἦσαν οἱ τριακόσιοι οἱ πάνυ πλούσιοι οἱ πρῶτοι, οἵ τινες προεισέφερον τῶν ἄλλων τε καὶ εἶχον αὐτοὺς ὑπακούοντας εἰς πάντα, ὥστε συμβαίνειν εἰς δύο μερίδας εἶναι τοὺς πάντας. εἶχε* οἱ τῶν ἑκατέρωθεν ἦσαν ὥσπερ ἡνωμένοι τοῖς ἑκατέρωθεν τριακοσίοις, τοῖς πλουσιωτέροις. εἶχεν δὲ ἑκάστη μερὶς τῶν τεσσάρων, καὶ ἴδιον στρατηγὸν, καὶ ἴδιον ῥήτορα. ὅμως δὲ πάλιν τῶν δευτέρων, καὶ οἱ ῥήτορες, καὶ οἱ στρατηγοὶ ὑπεῖκον ταῖς προτέραις. τότε οὖν φησὶν ἐμέριζον ἑαυτοὺς, διὰ πλείονα σπουδὴν τοῦ εὐκαίρως εἰσφέρεσθαι τὰ χρήματα, κατὰ συμμορίας. νῦν δὲ δι' οὐδὲν ἄλλο μερίζεσθε εἰς συμμορίας, ἢ διὰ τὸ πολιτεύεσθαι, ὅ ἐστι διὰ τὸ στασιάζειν. μέμφεται οὖν αὐτοὺς ὅτι πρώην, ἡνίκα διὰ τὸ εἰσφέρειν ἐποιοῦντο τὰς συμμορίας καὶ καιρὸς ἦν πραγμάτων, ἡγεμόνας ᾔδεσαν τοὺς πλουσιωτέρους. δευτέρους δὲ, τοὺς στρατηγοὺς, τοὺς κατορθοῦντας. τρίτους δὲ, τοὺς ῥήτορας, τοὺς μόνον λέγοντας. νῦν δὲ ἐπειδὴ ὁ καιρός ἐστι τοῦ στασιάζειν καὶ τοῦ λέγειν, ἡγεμόνες εἰσὶν οὐχ οἱ πλούσιοι, ἀλλ' οἱ ῥήτορες. καὶ βοηθησόμενοι εἰσὶν οἱ πρῶτοι τριακόσιοι, ἐπαινοῦντες τὰ ὑπὸ τῶν ἰδίων ῥητόρων λεγόμενα. οἱ δὲ ἄλλοι προσνενεμημένοι ἑκατέροις. τοῖς δὲ ἀναγκάζεσθαι.) ἐπειδὴ εἶπεν ἀνωτέρω φημὶ δὴ δεῖ χρημάτων, ἵνα μὴ εἴπωσιν οἱ πένητες, οὐκοῦν εἰσοίσουσιν οἱ πλούσιοι, προλαβὼν ὑπὲρ αὐτῶν ποιεῖται τὸν λόγον. ὅτι μέχρι πότε οἱ πλούσιοι τριηραρχήσουσι καὶ εἰσοίσουσι καὶ πάντα δαπανήσουσιν; ἐὰν γὰρ αὐτοὺς ἀποκόψῃ ἀπὸ τῶν πλουσίων, ἐλπίδα μηδεμίαν ἐχόντων, ἢ ἄλλην εὐπορίαν εὑρήσουσιν, ἢ ἀποστήσονται τῶν θεωρικῶν. καὶ ὅλως συνήθως τῷ δημοσθένει τοῖς πλουσίοις συνίστασθαι. γινώσκει γὰρ ὅτι τὰ νεῦρα τῆς πόλεώς εἰσιν οἱ πλούσιοι.

λέγω δὴ κεφάλαιον.) διὰ τοῦτο ἐδεήθη δευτέρας ἀνακεφαλαιώσεως, εἰπὼν, ὅτι χρὴ πάντας εἰσφέρειν, ἵνα τῆς ἀνάγκης ταύτης περιστάσης, ἐκστήσωνται τῶν θεωρικῶν.

ΕΙΣ ΤΟΝ ΟΛΥΝΘΙΑΚΟΝ ΤΡΙΤΟΝ

Δημοσθένους λόγον ἐξήγησις.

Οὐχὶ ταυτὰ παρίσταταί μοι γινώσκειν ὦ ἄνδρες ἀθηναῖοι.) ὡς τῶν πραγμάτων χαλεπῶν ὄντων, ἐξ ἐπιτιμήσεως τὸ προοίμιον εἴληπται, ἢ ἐκ τοῦ παραδόξου. παράδοξον γὰρ γίνεται, ὅταν τοῖς λόγοις οὐ συντρέχει τὰ πράγματα. ἢ ἀπὸ συγκρίσεως. συγκρίνων γὰρ δείκνυσι τοὺς λόγους ἐναντίως ἔχοντας τοῖς πράγμασιν. οὐχὶ ταυτά.) παθητικὸν τὸ προοίμιον, καὶ μεστὸν ἀξιώματος. ἐν ᾧ γὰρ ἐπηρμένον τὸν δῆμον καὶ μέγα φρονοῦντα ἐπὶ τῇ νίκῃ, συστέλλει, καὶ πρὸς φόβον καθίστησιν: ἀφ' ἑτέρου πάθους εἰς ἕτερον ἄγει τὸν ἀκροατήν. ἐν ᾧ δὲ ἀλλάττει τὴν γνώμην τῶν ἀθηναίων: τὸ τοῦ περικλέους ἀξίωμα διὰ τῶν ἔργων δείκνυσι. καὶ γὰρ ἐκεῖνος ἀθυμοῦντα μὲν τὸν δῆμον ἱκανὸς ἦν ἀναγαγεῖν, καὶ μεστὸν ἐλπίδων ἀποφῆναι: θαρροῦντα δὲ αὖθις εἰς φόβον περιῆγε. τριμερὴς δὲ ὁ λόγος. τὸ μὲν γὰρ πρῶτον εἶναι δοκοῦν καὶ τὸ μάλιστα συνέχον, καὶ περὶ οὗ πρόκειται νῦν ἡ σκέψις ὃ προηγούμενον κέκληται, εἰ χρὴ μεταστῆσαι τὴν δύναμιν εἰς μακεδονίαν; ἢ κατὰ χώραν ἐᾶσαι μένειν τοῖς ὀλυνθίοις βοηθήσουσαν; τὸ δὲ δεύτερον, εἰ χρὴ λῦσαι τοὺς νόμους τοὺς θεωρικούς; τὸ δὲ τρίτον ἐπιλογικὸν ὂν, καταδρομὴν ἔχει τῆς πολιτείας τῶν νῦν δημαγωγούντων. τούτων δὲ τῶν μερῶν ἕκαστον, ὑποπέπτωκεν οἰκείῳ κεφαλαίῳ. τὸ μὲν γὰρ πρότερον, τοῦ συμφέροντος εἶναι δοκεῖ. τὸ δὲ δεύτερόν ἐστι τοῦ νομίμου. εἴληπται δὲ εἰς κατασκευὴν τοῦ δυνατοῦ. καὶ γὰρ κεφάλαιον κεφαλαίῳ ἀποδείκνυται. τὸ δὲ τρίτον ἐστὶ τοῦ δικαίου. λέγω δὲ τὸ τῆς καταδρομῆς τῶν νῦν πολιτευομένων, καὶ τῆς εὐφημίας τῶν ἐπὶ τῶν προγόνων πολιτευσαμένων.

A Proinde cum decem tribus eſſent, & ſingulæ cētenos uicenos deſignarent: fiebat, ut uniuerſi qui publica munera obirent, mille ducēti eſſent. Diuidebant porrò eos decem cœtus in bis ſexcentos uiros: & rurſus harum duarum partiū quanq; in duas partes, hoc eſt, in trecentos è quinq; cœtibus delectos. Hi uerò erāt trecenti locupletiſsimi & primi, qui & præ cæteris tributa pendebant, & eos habebant in omnibus rebus dicto audientes. Proinde efficitur, ut duæ partes ſint omnium. Siquidem * utrinq; erant uelut agglutinati alterius partis trecentis locupletioribus. Habebant autem ſinguli quadrantes, & peculiarem ducē, & peculiarem oratorem. Nihilominus tamē ſecundarum & oratores, & duces, prioribus cedebant. Olim igitur, inquit, ſe diuidebant in ſymmorias, ob maiorem ſolicitudinem, ut pecuniæ tempeſtiuè penderentur: nunc uerò non ob aliud in ſymmorias diuidimini, niſi propter adminiſtrationem reipub. hoc eſt, propter factiones. Reprehendit igitur eos, quòd olim, cū propter tributa ſymmorias facerent, & rerum gerendarū tempus adeſſet, principatum teneri ſciebant à ditioribus: ſecundo loco eſſe duces, qui rem bene gererent: tertiò oratores, qui tantum uerba facerent. Nunc uerò cum tempus ſit concionandi & dicendi, principa-
B tum tenere non diuites, ſed oratores: & ſuffragatores eſſe primos trecentos, qui laudent ea quæ à ſuis oratoribus dicta fuerint. reliquos utriſq; eſſe attributos.

Alijs cogi.) Poſtquam ſuprà dixit, Affirmo igitur opus eſſe pecunia: ne dicant pauperes, Proinde conferent diuites: occupat, & eos defendit, Quò uſq; tandem, inquit, Triremes inſtruent & cōferent, & omnia inſument? Nam ſi eis ſpem omnem, quam in diuitib. habebant, præciderit: * aut alias opes quærent, aut theatrali cedent. Ac omnino ſolet Demoſthenes patrocinari diuitibus. Intelligit enim neruos eſſe reipublicæ locupletes.

* *nec opes aliæ ſuppeditarint: theatrali pecunia cedēt*

Dico igitur in ſumma.) Propterea opus ei fuit ſecunda capitum enumeratione, cum dixerit, omnibus tributum eſſe conferendum, ut in eam neceſsitatem adducti, theatralem pecuniam miſſam facerent.

ENARRATIO IN OLYNTHIACAM TERTIAM

Demoſthenis orationem, Hieronymo Vuolſio interprete.

NON eadem ſtatuere poſſum, Athenienſes.) Exordium, ut in rebus arduis, ab obiurgatione ductum eſt, uel ab admirabili. Eſt enim ad-
C mirabile, cum res uerbis non reſpondent. Vel, à comparatione. comparando enim oſtendit, uerba rebus eſſe contraria.

Non eadem.) Vehemens exordium, & plenum grauitatis. Dum enim elatum populum, & uictoria ſuperbientem reprimit, & in metum conijcit: ab uno affectu in alium traducit auditorem. Dum uerò mutat animum Athenienſium, Periclis autoritatem ipſis factis repræſentat. Nam is quoque populum cōſternatum conſolari, & in ſpem optimam erigere poterat: contrà, ferocientem iniecto metu cohercebat. Eſt autem tripertita oratio. Nam quod primum uidetur, cauſamque maximè continet, atque id de quo in præſentia deliberatur, quod præcipuū ſeu principale dicitur, eſt, utrum copiæ traducendæ ſint in Macedoniam: an uerò eodem in loco ad iuuādos Olynthios relinquendæ? Alterum, an theatrales leges abrogandæ ſint. Poſtremum, quod in epilogo tractatur, reprehenſionē habet adminiſtrationis eorū magiſtratuū q̃ populū eo tēpore gubernabant. Harū partiū ſingulæ peculiari capite cōtinētur. Prima enim utilitatis eſſe uidetur. Secūda legitimi eſt, atq; ad probationē facultatis aſcita. Etenim caput capite ꝓbatur. Tertia uerò iuſti. illā aūt dico, qua magiſtratus illius tēporis reprehenduntur, & maiorum adminiſtratio celebratur.

πᾶσα γὰρ συμβουλὴ περὶ ποιότητα προσώπου γινομένη, ἔπαινον ἢ ψόγον δηλοῦσα, εἰς τὸ δίκαιον ἔχει τὴν ἀναφοράν. καὶ τὸ μὲν συμφέρον δίχα τέτμηται. εἴς τε τὸ ἀναγκαῖον, ἐλεύσεται γὰρ Φίλιππος εἰς τὴν ἀττικὴν διαφθαρέντων τῶν ὀλυνθίων. καὶ εἰς τὸ ἄδοξον, πάντες γὰρ ἴσασιν ἕλληνες, ὅτι τοῖς ὀλυνθίοις ἐπηγγειλάμεθα βοηθῆσαι, εἰ πολεμήσαιεν πρὸς Φίλιππον, καὶ τὸ ψευδεῖς φανῆναι, τῶν ἀδόξων. ζητήσειε δ' ἄν τις τί δήποτε κωλύων μεθιστάναι τὴν δύναμιν, οὐδεμίαν πεποίηται περὶ αὐτοῦ μνήμην, οὐδὲ φαῦλον δεικνύει τὸ μετάγειν εἰς μακεδονίαν τοὺς στρατιώτας; ῥητέον οὖν ὅτι εἰσὶ πλείους τρόποι καθ' οὓς ἀντιλέγειν ἔξεστιν. ἢ γὰρ πρὸς αὐτοὺς τοὺς λογισμοὺς μαχόμεθα τῶν ἀντιλεγόντων, δεικνύντες αὐτοὺς σαθροὺς ὄντας· ἢ ἑτέραν εἰσηγούμεθα γνώμην, διὰ τῆς ἡμετέρας τὴν ἐκείνων ἀνατρέποντες· ἢ τὸ * συμφέρον τὸ μὲν ἐκείνων ἐλέγχομεν, αὐτοὶ δὲ συμβουλὴν ἑτέραν εἰσηγούμεθα. ἐνταῦθα τοίνυν ὁ ῥήτωρ φρονήματι χρώμενος, τῆς μὲν ἐκείνων γνώμης οὐδεμίαν πεποίηται μνήμην, τὴν δὲ αὐτῷ δοκοῦσαν εἰσηγεῖται, καὶ ταύτην ἐργάζεται. τὰ δὲ πράγματα.) προοίμιον ἐκ τοῦ ἀναγκαίου. λαμβάνεται δὲ ἐξ ὑπολήψεως τῶν πραγμάτων φαύλων ὄντων. ἱκανόν.) αὔταρκες, ὡσεὶ ἔλεγε, κἂν τοῦτο δυνηθῆτε ποιῆσαι, καλῶς ὑμῖν ἔχει πρὸς τὴν παροῦσαν δύναμιν. προλαβεῖν.) ὥσπερ περὶ δρομέων εἶπεν ἐπειγομένων διὰ τάχους προαρπάσαι τὸ ἆθλον, κείμενον ἐν μέσῳ· ἵνα ἆθλον μὲν νοήσωμεν, τὴν ὄλυνθον· δρομέας δὲ, Φίλιππόν τε καὶ ἀθηναίους. εἰς τοῦτο προήκοντα.) οὐκ εἶπεν οὕτως ἔχοντα, ἀλλ' εἰς τοῦτο προήκοντα, διὰ τῆς ἐν τῇ λέξει τάσεως, τὸν χρόνον δεικνὺς τὸν αἴτιον τῶν κακῶν.

ὥστε ὅπως μὴ πεισώμεθα.) μεγάλῳ θάρσει, μέγαν φόβον ἀντέθηκεν, σφόδρα τεχνικῶς ποιῶν. τὰ γὰρ μεγάλα πάθη, μείζοσι πάθεσι λύειν προσήκει. οὐδὲν οὖν ἄλλο μοι δοκοῦσιν.) ὥσπερ αἰνιττόμενος, ἀλλὰ νῦν μὲν οὐκ ἔχω φιλιππισμὸν αὐτοῖς ὀνειδίζειν. τὸ δὲ ἑξῆς οὕτω. οὐδὲν οὖν ἄλλο μοι δοκοῦσιν οἱ τὰ τοιαῦτα λέγοντες ῥήτορες, ἢ ἁμαρτάνειν. εἶτα ἐν τῷ μέσῳ κατασκευάζει, πῶς; τὴν ὑπόθεσιν ὑμῖν παριστάντες καὶ συμβουλεύοντες, περὶ ἧς καὶ ὑμεῖς βουλεύεσθε. βουλεύονται δὲ νῦν περὶ τοῦ τιμωρήσασθαι Φίλιππον, ἀλλ' οὐχὶ τὴν οὖσαν καὶ ἀληθῆ ὑπόθεσιν. ἐπὶ κοινοῦ τὸ παριστάντες ὑμῖν, ἥ τις ἐστὶ τὸ βουλεύσασθαι, ὅπως ἂν πρῶτον σώσωμεν τοὺς ὀλυνθίους. ἔστι δὲ ὥσπερ συμπέρασμα τοῦ προοιμίου διὰ πλειόνων. ἢ τὴν ὑπόθεσιν περὶ ἧς βουλεύεσθε.) βιαίως σφόδρα τὸν δῆμον κοινωνὸν τῆς ἑαυτοῦ γνώμης ἐποίησεν· ὑπὲρ ὧν αὐτὸς μέλλει συμβουλεύειν, περὶ τούτων εἰσεληλυθέναι φήσας βουλευσόμενον τὸν δῆμον.

ἐγὼ δὲ ὅτι μέν ποτε.) ἐπὶ τὴν αὐτὴν ἔννοιαν ἐξεργάζεται. δηλοῖ δὲ τοὺς καιροὺς ἐν οἷς ἀμφίπολιν εἴχομεν, καὶ ποτίδαιαν, καὶ τὰ περὶ θρᾴκης.

ἐὰν γὰρ τοῦτο βεβαίως.) τὸ μὲν λέγειν ὡς οὐκ ἔσωσαν ὀλυνθίους, ἀναίσχυντον, καθεῖλε δὲ αὐτὸ φήσας ὅτι, οὐ βεβαίως. ὥστε ἀνάγκη μένειν κατὰ χώραν τὴν δύναμιν.

καὶ περὶ τοῦ τίνα τρόπον.) καὶ ἐν τῷ τρόπῳ τῆς τιμωρίας ἁμαρτάνοντας δείκνυσι τοὺς ῥήτορας. φησὶ γὰρ τότε ἐξέσται τὸν τρόπον σκοπεῖν. αἰνίττεται δὲ ὅτι ἐπὶ θάλατταν ἐπελθεῖν δεῖ τῷ Φιλίππῳ, καὶ κλεῖσαι τὰ ἐμπόρια, ὅπερ αὐτὸς ὕστερον ἐν τῷ τετάρτῳ συνεβούλευσεν.

πρὶν δὲ τὴν ἀρχήν.) ἀκόλουθον τῇ ἐξ ἀρχῆς προτάσει τὸ συμπέρασμα. τότε γὰρ τοὺς ῥήτορας μεμφόμενος, ὅτι ἕτερα ἀνθ' ἑτέρων συμβουλεύουσι· νῦν φησι μάταιον εἶναι περὶ τοῦ τέλους σκοπεῖν· ἀρχὴν μὲν τὴν τῶν συμμάχων σωτηρίαν· τέλος δὲ, τὴν Φιλίππου καταστροφὴν εἶναι διδάσκων. τὸ δὲ συμπέρασμα γνωμικὸν ὂν, σεμνὴν τὴν βάσιν τῷ προοιμίῳ πεποίηκε. δεῖ γὰρ ἐν μὲν ταῖς ἀρχαῖς τῶν προοιμίων, τὰ γνωμικὰ φυλάττεσθαι. καὶ ἄγονον καὶ ἀρχαιότροπον τὸν λόγον δεικνύει. τὸ γὰρ ἐπὶ τέλει γνωμικὸν, ἐπισφραγίζεται τοὺς ἐν μέρει λογισμοὺς, τῇ καθόλου προσθήκῃ.

A Omnis enim ſuaſio, quæ circa perſonam uerſatur, laudatione aut uituperatione conſtans, ad iuſticię caput refertur. Ac utilitas quidem bifariam ſecta eſt, in neceſsitatem: inuadet enim Atticá Philippus, ſubactis Olynthijs. & in ignominiam: ſciunt enim Græci omnes, auxilia pollicitos eſſe nos Olynthijs, ſi cũ Philippo bellum gererent. Eſt autem ignominioſum, in mendacio palàm deprehendi. Quæri autem poteſt, cúrnam, cum in Macedoniam traduci uetet exercitũ, nullam eius rei mentionem fecerit, neque oſtenderit, eò traduci copias ſine incommodis haud poſſe? Reſpondendum eſt, plures eſſe rationes, per quas aduerſari liceat. Aut enim ipſas aduerſariorum rationes oppugnamus, oſtendendo, futiles eas eſſe: aut alterius alicuius rationis auctores ſumus, qua eam quæ illorũ eſt, euertimus: aut id quod illi expedire contendunt, refutamus, atque ipſi aliud conſilium proponimus. Hic igitur orator, animoſè ſanè, illorum decreti mentionem nullam facit: ſed id ſibi uiſum eſt, in medium affert & tractat. Res .) Exordium à neceſſario. Ducitur autem ab opinione rerum quæ *malæ ſunt. Satis.) Abundè. quaſi diceret: Quod ſi perficere poteritis, præclarè uobiſcum agetur pro iſtis copijs. Anteuertamus.) Tanquam de curſoribus
B locutus eſt, ſummo ſtudio feſtinantibus, ut pręmium in medio poſitum præripiant. Intelligendum eſt autem, præmium eſſe Olynthum: Philippum & Athenienſes, curſores.

Eò progredi.) Non dixit, ſic habere ſe, ſed, Eò progredi: uerbi mora oſtendens, cunctationem cauſam eſſe malorum.

Prius eramus infortunium.) Magnæ confidentiæ magnum metum opponit, idq́ue artificioſiſsimè fit. Vehementes enim affectus uehementioribus ſunt ſoluendi.

Nihil igitur aliud uidentur.) Quaſi innueret, Nunc eis Philippi ſtudium obijcere non poſſum. Id uerò quod ſequitur, ſic eſt accipiendum: Nihil igitur aliud mihi uidentur, qui talia dicunt oratores, quàm errare. Deinde in medio cõfirmat, quomodo? Qui cum id argumentum uobis afferant, & ſuadeant, de quo & uos deliberatis: conſultant nunc de ulciſcẽdo Philippo. id uerò non proprium & uerum argumentum eſt (uerba: Qui cum uobis afferant: ad utrúque membrum pertinent) quod eſt, ut primùm deliberemus de conſeruandis Olynthijs. Eſt autem hæc ueluti prolixior exordij concluſio.

Quàm quòd argumentum prorſus.) Admodum uiolenter populum ſui conſilij ſocium facit, cum ait, quibus de rebus ipſe cõſilium daturus ſit, de his ipſis
C populum ad deliberandum conueniſſe.

Ego uerò aliquando.) Ad hunc modum ſententiã expolit. uult autem ea tempora intelligi, quibus Amphipolim, Potidæam, & Thracię imperium tenuerũt.

Quorum ſalus ubi in tuto.) Negare Olynthios ab eis eſſe defenſos, impudentię fuerit. id uerò deſtruxit, dicendo, non in tuto. Quare neceſſe eſt, ut ibidem relinquatur exercitus.

Et ratione qua.) Etiam in modo ulciſcendi errare oratores, oſtendit. Ait enim, tum fore ut liceat de modo deliberare. Innuit autem, mari Philippum eſſe inuadendum, & claudenda emporia: id quod ipſe poſtea in quarta oratione Philippica ſuaſit.

Antequam autem principium.) Conſentanea eſt primæ propoſitioni concluſio. Cum enim hactenus increpauerit oratores, quòd alia pro alijs conſuluerint: nunc ait, fruſtra de fine deliberari. Principium quidem ſociorum incolumitatem, finem uerò Philippi euerſionem eſſe docens. ſed concluſio, quæ ſententioſa eſt, illuſtrem exordio ſedẽ præbet. Nam in principijs exordiorum ſententioſa cauenda ſunt, quæ & ſterilem & antiquariam orationem eſſe indicant. at ſententioſa in fine, obſignant ſingulares ratiocinationes appendice uniuerſali.

ἐπὶ Hæc

A

ὁ μὲν οὖν πρὸ τοῦ καιρός.) δεύτερον προοίμιον. ἐκθέμενος γὰρ ἐν τῷ πρώτῳ προοιμίῳ σποραδικῶς τὴν ἑαυτοῦ γνώμην, ὅτι δεῖ τοὺς στρατιώτας κατὰ χώραν μένειν· καὶ τὸ προηγούμενον τοῦ λόγου μέρος αὐτῷ κατανείμας, ἐν τῷ δευτέρῳ πάλιν, τὰ λειπόμενα δύο μέρη περιείληφεν.

ἀλλ' ἐκεῖνο ἀπορῶ.) τὸ δεύτερον μέρος ἐκ τοῦ περὶ τῶν θεωρικῶν ἐκίνησε. δείκνυσι δὲ ὅτι τὴν λύσιν τῶν κακῶν εἰδὼς, ὀκνεῖ ἀποφήνασθαι. τὸ δὲ ἀπορῶ τίνα τρόπον: πολλὰς ἔχει σημασίας, πότερον φανερῶς, ἢ τοὐναντίον ἐξ ἀπάτης; πότερον μετὰ παρρησίας, ἢ ὑφειμένως; οὐκ εἶπε δὲ ἀπορῶ τί δεῖ λέγειν, ἀλλὰ πῶς δυνήσομαι * κολάσεως ἐκτὸς πεῖσαι. ἰστέον δὲ ὅτι ἀκατασκεύαστον εἴασε τὸ προοίμιον, ἵνα ὡς ὁμολογούμενον λάβοι, τὸ, ὅτι πολλῆς φροντίδος δεῖται τὰ πράγματα.

πέπεισμαι γάρ.) τουτέστιν, ἐξ ὧν αὐτός τε συμβουλεύω καὶ ἐξ ὧν ἕτεροι λέγουσι. δίδωσι γὰρ καὶ τῶν ἄλλων ῥητόρων ἐνίοις λέγειν π[illegible] χρήσιμα, ἵνα μὴ πάντα εἰς αὐτὸν ἀνάγων φορτικὸς εἶναι δοκῇ.

ἀξιῶ δὲ ὑμᾶς.) ἀντὶ τοῦ ἄξιον νομίζω. οὐ γὰρ εὑρίσκεται παρὰ τοῖς ἀττικοῖς, εἰ μὴ σπανίως τὸ ἀξιῶ ἀντὶ τοῦ παρακαλῶ.

ὁρᾶτε γάρ.) ἐντεῦθεν αὐτῷ τὸ τρίτον μέρος γίνεται τὸ τῆς ἐπιτιμήσεως τῶν νῦν πολιτευομένων.

B

ἀναγκαῖον δὲ ὑπολαμβάνω.) μετελήλυθεν ἐνταῦθα, εἰς τὰ αὐτὰ κεφάλαια. καὶ ἔστιν αὐτὸ τὸ συμφέρον ἐξεταζόμενον, καὶ τὸ προηγούμενον μέρος, πότερον χρὴ μένειν ἐν Ὀλύνθῳ τὴν δύναμιν, ἢ μετάγειν εἰς τὴν Μακεδονίαν;

μέμνησθε ὦ ἄνδρες ἀθηναῖοι.) πεῖσαι βουλόμενος τοὺς ἀθηναίους ἐᾶσαι κατὰ χώραν τὴν δύναμιν, παραδειγματικῇ πίστει κέχρηται. πιθανωτέρα γὰρ πασῶν τῶν πίστεων ἡ τοιαύτη. διὸ καὶ Ἰσοκράτης μὲν πιθανώτερος εἶναι δοκεῖ, περιττεύων τοῖς παραδείγμασι. Δημοσθένης δὲ βίαιος ὑπείληπται τοῖς ἐνθυμήμασι· καὶ νῦν μὲν παραδείγμασιν, αὖθις δὲ ἐντέχνῳ πίστει χρώμενος.

μὴν μὲν ἦν μαιμακτηριών.) χειμέριος οὗτος ὁ μήν· ἐξ οὗ δείκνυσιν, ὅτι, καί τοι χειμῶνος ὄντος, πλεῖν ἐψηφίσασθε, τοσαύτῃ προθυμίᾳ πρὸς τὴν βοήθειαν ἐκέχρησθε.

μέχρι πέντε καὶ τετταράκοντα.) ὡς παράδοξον τοῦτο εἶπεν, ἵνα ἐμφήνῃ αὐτῶν τὴν πολλὴν σπουδήν. νόμου γὰρ κελεύοντος παρὰ ἀθηναίοις μέχρι τετταράκοντα ἐτῶν στρατεύεσθαι, ἀρξαμένους ἀπὸ ὀκτωκαίδεκα, καὶ μέχρι μέν τοι τῶν εἴκοσι παῖδας ὄντας τέως περιπολεῖν τὰ περὶ τὴν πόλιν φρούρια· εἰς ὑπερορίους δὲ πολέμους ἀπὸ εἴκοσιν: αὐτοὶ τότε, καὶ οὓς οὐκ ἐκέλευεν ὁ νόμος στρατεύεσθαι, πολεμεῖν ἐψηφίσαντο διὰ τὴν πολλὴν σπουδὴν, ὡς εἴρηται.

C

κενάς.) κενὰς ἀθηναίων. ὁ ἐστι ξένους ἀντὶ ἀθηναίων ἐχούσας.

Φίλιππος ἠσθένει.) ἐπικινδύνως ἀσθενῆσαί φησι Φίλιππον, ὅτε τὴν Μεθώνην ἐπολιόρκει, ἀστέρος τινὸς στρατιώτου μεθωναίου ἀπὸ τοῦ τείχους ἐπιγράψαντος τῷ δόρατι,

ἀστὴρ Φιλίππῳ θανάσιμον πέμπει βέλος.

εἶτα πέμψαντος, καὶ κατὰ τύχην τινὰ ἐπιτυχόντος κατὰ τοῦ ὀφθαλμοῦ. λέγεται δὲ ὅτι καὶ Φίλιππος ἀντέγραψε πρὸς αὐτὸν, καὶ ἀντηκόντισεν, ὅμως οὐκ ἐπέτυχεν αὐτός,

ἀστέρα Φίλιππος ἢν λάβῃ, κρεμήσεται.

ἦν δ' οὗτος ὁ καιρὸς αὐτός.) ἀκούσαντες φησὶ νοσεῖν τὸν Φίλιππον, ἐξελίπετε τὴν βοήθειαν. καὶ τότε μάλιστα ἐπιτήδειος καιρὸς βοηθεῖν ἐκείνοις ἦν, ἐν ᾧ κακῶς διέκειτο Φίλιππος.

εἰ γὰρ τότε ἐκεῖσε ἐβοηθήσαμεν.) ἐπηγγείλατο μὲν ἀσύστολον παρρησίᾳ χρήσασθαι. οὐδὲν δὲ ἧττον καὶ νῦν ἐπιτιμᾷ, σκώπτων εἰς κουφότητα καὶ ῥᾳθυμίαν τὸν δῆμον. οὐ μὴν ἀλλὰ κέκρυπται τὰ τῆς ἐπιτιμήσεως σφόδρα τεχνικῶς. ὅταν μὲν γὰρ πεῖσαί τι βουλώμεθα τοὺς ἀκούοντας, κἂν ἐπιτιμᾷν ἔχωμεν, ἐγκεκρύφθαι δεῖ τὴν παρρησίαν, ἵνα μὴ χαλεπήναντες φιλονεικότεροι γίνωνται. ὅταν δὲ τοῦτο μόνον βουλώμεθα ποιεῖν, διὰ τὸ σωφρονίζειν ἐπιτιμῶντες· τότε φανερώτερον τῇ παρρησίᾳ προσήκει κεχρῆσθαι.

Hæc quidem occaſio.) Secũdum exordium. Cum enim in primo ſuam ſententiam ſparſim expoſuerit, milites non eſſe transferendos: eique præcipuam orationis partem attribuerit: in ſecundo rurſus, duas reliquas partes complexus eſt.

Sed illud dubito.) Alteram partem ex eo quod eſt de theatrali pecunia, mouit. oſtendit autem ſe ſcire malorum remedium, & eloqui non audere. Dubito quónam modo. Hoc multas habet ſignificationes, apertène, an contrà ſubdolè, liberè an diſsimulanter? Non dicit autem, Dubito quid dicẽdum ſit: ſed, Quomodo poſsim * impunè ſuadere. Sciẽdum autem eſt, eum ſine confirmatione poſuiſſe exordium, ut pro cõfeſſo ſumeret, Negocia magnam curam poſtulare.

Perſuaſum enim habeo.) Hoc eſt, tum ex his quæ ipſe ſuadeo, tum ex illis quæ alij dicunt. Concedit enim, etiam alios oratores interdum conducibilia ſuadere, ne ſi omnia ſibi tribuat, arrogans uideatur.

Peto autem à uobis.) ἀξιῶ, æquum eſſe puto. nec enim reperitur apud Atticos, niſi rarò, ἀξιῶ pro παρακαλῶ, id eſt, hortor, uel oro.

Videtis enim.) Hinc tertia pars exiſtit, increpatio nimirum huius temporis magiſtratuum.

Neceſſarium autem exiſtimo.) Tranſit hinc ad eadem capita. eſtque ipſa utilitas ea pars quæ in quæſtionem uenit, & principatum tenet: utrum Olynthi manere debeat exercitus, an trãſire in Macedoniam?

Meminiſtis Athenienſes.) Perſuaſurus Athenienſibus, exercitum nõ eſſe loco mouendum, probatione ab exemplo utitur: quæ una plus ualet cæteris omnibus ad fidem faciendam. Quare Iſocrates plauſibilior uidetur, quòd exemplis abundat: Demoſthenes uerò uiolentus eſſe creditur propter argumenta: nunc quidem exemplis, mox artificioſa probatione utens.

Menſis quidem fuit * September.) Hybernus eſt hic menſis: quo hoc oſtendit, quamuis hyems eſſet, nauigandum eſſe decreuiſtis: tanta eſtis in auxilio ferendo alacritate uſi.

Vſque ad quintum & quadrageſimum.) Hoc tanquam admirabile dixit, ut oſtenderet ingens eorum ſtudium. Nam cum lex Athenis iuberet ad quadrageſimum uſque annum militare, à decimooctauo auſpicatos: ac ad uigeſimum quidem uſque, dum pueri eſſent, urbana & ſuburbana caſtella cuſtodire: & à uigeſimo demum anno ad externa bella proficiſci: ipſi tum eos etiam, quos lex militare non iubet, belligerare iuſſerunt, propter ingens, ut dictum eſt, ſtudium.

Vacuas.) Vacuas Athenienſibus, quod eſt, in quibus peregrini loco Athenienſium erant.

Philippus ægrotare.) Periculoſè Philippum ægrotaſſe memorant. Cum enim in oppugnatione Methones, Aſter quidam Methonæus miles in muro haſtili inſcripſiſſet, Aſter Philippo letiferum telum iacit: eo coniecto, forte fortuna eius oculum tetigit. Ferunt autem Philippum contrà inſcripſiſſe telo, & quanquam id coniecerit, aberraſſe tamen: Aget in crucem, captum Philippus Aſterem. *O' facetos & ocioſos bellatores.*

Erat autem ea occaſio ipſa.) Audito, inquit, ægrotare Philippum, opem ferre deſtitiſtis. Atqui tum maximè opportunum tempus erat eos iuuandi, dum malè cum Philippo agebatur.

Si enim tunc illuc auxilia miſiſſemus.) Promiſit quidem ſe deinceps liberè uerba facturum: ſed nihilominus tamen nunc etiam obiurgat, & populi leuitatem atq; ſocordiam deridet. ſed tamen occultata eſt perquàm artificioſè, obiurgatio. Cũ enim aliquid perſuadere uolumus auditoribus, etſi obiurgandi cauſa non deeſt, diſsimulanda tamen eſt libertas, ne irritati pertinacius nobis aduerſentur. Cum uerò id ſolum propoſitum habemus, ut eos obiurgando emendemus, tum apertius uti libertate conuenit.

Mutari

A οὐκ ἂν ἄλλως ἔχει.) τὴν αἰτίαν ὥσπερ βούλεται ἡμῖν εἰπεῖν, διατί ἐχρήσατο τῷ διηγήματι τούτῳ. πῶς γὰρ δυνατὸν μεταποιηθῆναι τὰ ἤδη γενόμενα; καὶ γὰρ οἱ φιλόσοφοί φασιν, ὡς ὅτι πάντα δύναται τὸ θεῖον ποιῆσαι χωρὶς ἑνός, τοῦ ἄλλως ποιῆσαι τὰ ἤδη γενόμενα. τί δὴ χρησόμεθα, ὦ ἄνδρες ἀθηναῖοι.) ἐρώτησιν προθεὶς, οὐκ ἐπήνεγκε τὴν ἀπόκρισιν, βοηθήσομεν, εἶθ' οὕτω τὰ ἑξῆς. εἰ γὰρ μὴ βοηθήσετε παντὶ σθένει. ὁ δὲ τὴν ἀπόκρισιν ἐξελὼν, ἐνέφηνεν αὐτὴν διὰ τοῦ δευτέρου. εἰ γὰρ μὴ βοηθήσητε. ἐκ τούτου δείκνυται τίς ἦν ἡ ἀπόκρισις, ὅτι δεῖ βοηθῆσαι.

παντὶ σθένει.) παντοίᾳ βοηθείᾳ. οἷον, ναυτικῇ, ὁπλιτικῇ, καὶ διὰ τῶν ἄλλων. ἐφορμεῖν τοῖς ἑαυτοῦ καιροῖς.) καλῶς ἐχρήσατο τῇ λέξει. ἐγγὺς γὰρ οὔσης τῆς μακεδονίας, παρατηρεῖν ὥσπερ ἔμελλεν αὐτοῦ τὰ ἀτυχήματα, πότε ἀτυχήσει ἵνα τότε αὐτῷ εὐκαίρως ἐπίθηται. χωρὶς γὰρ τῆς περιστάσης.) καὶ ἐκ τῆς ἀδοξίας, καὶ ἐκ τοῦ κινδύνου τὸ συμφέρον συνέστησεν: ἵν' οἱ μὲν σώφρονες καὶ γενναῖοι τὴν αἰσχύνην δείσαντες· οἱ δὲ πολλοὶ καὶ δημόται, τὸν φόβον, τὸν ἐκ τοῦ μέλλοντος κινδύνου, βοηθήσωσι τοῖς ὀλυνθίοις. ἀλλ' ὅτι μὲν δὴ δεῖ βοηθεῖν.) ἐνταῦθα τὸ προηγούμενον κεφάλαιον πεπλήρωκε. τουτέστι, τὸ συμφέρον. εἰς δὲ τὸ δυνατὸν μεταβέβηκεν, ὃ παρεμπίπτοντος B ἔχει χώραν. δεικνύοντος γὰρ αὐτοῦ τὸ συμφέρον, ὅτι βοηθεῖν δεῖ τοῖς ὀλυνθίοις, ἀντέπεσε: καὶ πῶς δυνησόμεθα, χρήματα μὴ ἔχοντες; καὶ γέγονεν ἡ εἴσοδος τοῦ δυνατοῦ, ἀντίθεσις πρὸς τὸ συμφέρον. ἐὰν γὰρ ἀποδειχθῇ ὅτι καὶ χρημάτων εὐποροῦμεν: κατεσκεύασε τὸ συμφέρον, ὅτι δεῖ βοηθεῖν τοῖς συμμάχοις. μὴ τοίνυν ὦ ἄνδρες ἀθηναῖοι.) ἐπειδὴ τοῦ ἀκροατοῦ προσδοκῶντος ἀκούειν περὶ πολέμου, αὐτὸς περὶ νομοθετῶν μέλλει λέγειν, διὰ τοῦτο προθεραπεύει τοὺς πολλούς. οἱ γὰρ συνετοὶ, οὐχ ἡγήσονται αὐτὸ παράδοξον, ἀλλὰ καὶ πάνυ ἀναγκαῖον. τολμηρὸν δὲ τὸ κελεύειν καθιστάναι νομοθέτας, ὡς λελυμένης τῆς δημοκρατίας, ἢ μελλούσης ὀλιγαρχίας γίνεσθαι. διὰ τοῦτο τῇ προδιορθώσει κέχρηται, διὰ τὸ δοκοῦν ἄτοπον τῆς εἰσηγήσεως. τὸ οὖν μέλλον ῥηθῆναι παρὰ τοῦ δήμου, ὅτι σὺ κελεύεις νομοθέτας καθίστασθαι; οὐ δὲ γὰρ ἔχομεν νόμους, ἀνέκοψε λέγων. ἐν δὲ τούτοις μὴ θέσθε νόμον μηδένα, ἀλλὰ τοὺς εἰς τὸ παρὸν βλάπτοντας ὑμᾶς, λύσατε.

νομοθέτας καθίσατε.) νομοθέτης ἐλέγετο παρ' αὐτοῖς, καὶ ὁ νόμον καινὸν εἰσφέρων, καὶ πάλιν ὁ κρίνων τοὺς *κυρίους, μή πως ἐναντίοι τινὲς ἀλλήλοις ἔλαθον ὄντες. τοῦτο δὲ τὸ ἔργον ἦν τῶν θεσμοθετῶν. οἱ δὲ τοὺς ἀτακτοῦντας.) C τίνι διαφέρουσιν οἱ ἀτακτοῦντες τῶν λειποτακτούντων, καὶ τῶν ἀστρατεύτων; ἀστράτευτος μὲν οὖν, ὁ μηδέποτε ἐγγραφεὶς εἰς τὸν κατάλογον τῶν στρατιωτῶν. ἄτακτος δὲ, ὁ ἐγγραφεὶς μὲν, μὴ ἐξιὼν δὲ εἰς τὰς ἐπιβαλλούσας αὐτῷ στρατείας. λειποτάκτης δὲ, ὁ παρὰ τὴν μάχην καὶ τὸ στρατόπεδον τὴν τάξιν καὶ τοὺς συνασπιστὰς ἀπολιπών. νόμοι δὲ ἦσαν κελεύοντες ἀφίεσθαί τινας τῆς στρατείας, ὥστε πομπεύειν εἰς τὰ διονύσια. κατὰ χάριν οὖν τὴν ἑαυτῶν, οἱ χορηγοὶ τοὺς νεωτάτους καὶ τοὺς ἐκ τοῦ καταλόγου μάλιστα ἐπελέγοντο. ὁ δὲ δημοσθένης, τοὺς μὲν ἐκ τοῦ καταλόγου στρατεύεσθαι ἔφη, ἐκ δὲ τῆς ἀχρήστου ἡλικίας, γίνεσθαι τοὺς χορεύοντας. ἐπειδὰν δὲ ταῦτα λύσητε.) βούλεται ψήφισμα λαβεῖν παρὰ τοῦ δήμου, τὸ παρέχον τὴν ἄδειαν τοῦ κατηγορεῖν τοῦ νόμου.

τηνικαῦτα τὸν γράψαντα.) σχήματι κέχρηται συναρπάζειν τὸν δῆμον. τῶν γὰρ πλουσίων μόνον συμφέρον ἡγουμένων λυθῆναι τὰ θεωρικά, αὐτὸς πάντας προσέθηκεν. ὡς καὶ τοῦ δήμου τοῦτο σπουδάζοντος. ἄλλως τε καὶ τούτου μόνου.) ἀντιπίπτον λύει. ἵνα μή τις εἴποι, τί οὖν ὀκνεῖς σὺ ὦ φιλόπολις ὑπὲρ τῆς πατρίδος ἀποθανεῖν ὡς ὁ κόδρος καί τινες ἄλλοι, ἐπάγει ὅτι ἐκεῖνοι μὲν εἶχον ὥσπερ παραμυθίαν τὸ ἀποθνήσκειν ὑπὲρ τοῦ χρησιμεύειν τοῖς πράγμασιν.

ἐγὼ

A Mutari nequeunt.) Cauſam quodammodo nobis explicare uult, cur ea commemoratione ſit uſus. Nã quî fieri poteſt, facta quæ ſunt, infecta ut fiant? Cum etiam Philoſophi dicant, omnia poſſe à numine confici, uno excepto, ut mutet ea quæ iam facta ſunt.

Quo igitur pacto ea utemur, Athenienſes.) Quæſtione propoſita, reſponſionem non ſubiecit, Opitulabimur. ſic deinceps reliqua, Niſi enim opem feretis omnibus uiribus: ſed reſponſione omiſſa, eam per id quod ſequitur, ſubindicauit, Niſi enim opem feretis. Ex quo apparet, quæ reſponſio fuerit, nempe, Opem eſſe ferendam.

Omnibus uiribus.) Auxilijs omnis generis, ueluti claſſe, legionibus, & reliquis. Velut in ſtatione eſſe ad eius occaſiones.) Bene uſus eſt uerbo ἐφορμεῖν. Cum enim finitima eſſet Macedonia, aucupatura erat eius clades: ut, cum aduerſa fortuna uteretur, tum eum per occaſionem inuaderet. Præter enim eam quam caperemus.) Et ab ignominia, & à periculo utilitatem probat, ut prudentes & generoſi, ignominiæ metu: uulgus & plebeij, impendentis periculi terrore Olynthijs opitulentur.

Sed opem quidem eſſe ferendam.) Hic principale caput abſoluit, hoc eſt, utilitatem, & ad faculta- B tem digreditur, quæ obiter incidentis locum obtinet. Vtilitatem enim oſtendenti, cur ſuccurrendum eſſet Olynthijs, occurrebatur, Quî poterimus ſine pecunia? factus igitur eſt ingreſſus ad facultatem, obiectione contra utilitatem. Nam cum probatum fuerit, eos etiam pecuniæ copiam habere: tum confirmata erit utilitas, opem ferendam eſſe ſocijs.

Ne igitur, Athenienſes.) Quia, cum auditor expectaret ſe de bello auditurum, ipſe de legumlatoribus dicturus erat: propterea in primis delinit multitudinem. Nam prudentes id non abſurdum, ſed omnino neceſſarium putabant. Audax autem facinus eſt, iubere legumlatores creari, quaſi oppreſſa eſſet Reſpublica, aut ad paucorum potentiam res ſpectarent. Ideo præmunitione uſus eſt, propter abſurdam conſilij & autoritatis ſpeciem. Quod igitur à populo dicendum erat: Tu legumlatores conſtitui iubes? an uerò leges non habemus? præcidit his uerbis: Per eos uerò legem rogate nullam: ſed eas quæ uobis in præſentia nocent, abrogate.

Legumlatores conſtituite.) Legislator apud eos uocabatur, & qui legem nouam rogabat: & is, qui quę ratæ eſſent, dijudicabat, ne quæ fortè inter ſe contrariæ reperirentur: id quod Sexuiris, quos Theſmothetas uocant, curandum erat.

Aliæ perturbatores diſciplinæ.) Quid intereſt C inter ἀτακτοῦντας, λειποτακτοῦντας, & ἀστρατεύτους; ἀστράτευτος dicitur is, qui nondum in catalogum militum eſt inſcriptus. ἄτακτος, qui, cum inſcriptus ſit, expeditionibus quibus debuiſſet, non interfuit. λειποτάκτης uerò, qui in prælio & caſtris ordinem & commilitones deſeruit. Leges autem fuere, quæ iuberent quoſdam immunes eſſe à militia, ut pompam Bacchanalibus ornarent. Aediles igitur, emerendi fauoris cauſa, natu minimos, eoſque maximè qui nomina militiæ dederant, ſuo arbitratu eligebant. Sed Demoſthenes in catalogum inſcriptos militare iubet, & ex ætate inutili deligi ſaltatores.

Poſtquam uerò hæc ſuſtuleritis.) Studet decretum impetrare à populo, quò legem illam accuſare ſine periculo poſsit.

Qui ea ſcribat.) Captione uſus eſt, ut populo aſſenſum extorqueret. Nam cum diuites duntaxat expedire iudicarent, ut theatralis pecunia tolleretur: ipſe omnes appoſuit, quaſi populus etiam idem cuperet. Præſertim cum hoc ſolum.) Obiectionem ſoluit, ne quis dicat: Cur igitur dubitas tu reipublicæ amator, pro patria oppetere, ut Codrus, & quidam alij? reſpondet, illos quoddam habuiſſe ſolatium, quod cum utilitate reipub. perirent.

Ego

A ἐγὼ δὲ ἐὰν ἀπέλθω νῦν, οὐ μόνον οὐκ ὠφελήσω, ἀλλὰ καὶ βλάψω, φοβερώτερον καθιστὰς τὸ βῆμα τοῖς βουλομένοις παῤῥησιάζεσθαι. πρὶν δὲ ταῦτα εὐτρεπίσαι.) ἀντιπίπτον ἔλυσε, * τὸν νόμον μηδὲν εὐλαβηθείης. ἀπήντησεν οὖν διλημμάτως. εἰ μὲν οὐ δώσω δίκην, λύσας τοὺς νόμους: τυραννικὸν τὸ τοιοῦτον. εἰ δὲ ἀνάγκη κινδυνεύειν: πῶς οὐκ ἀνόητος ἔσομαι εἰς πρόδηλον κακὸν ἐμαυτὸν ἐμβάλλων; οὐμὴν οὐδ' ἐκεῖνο ὑμᾶς.) ἀντιπίπτον ἐπανορθοῦται. μηδὲν φοβηθείης ὦ Δημόσθενες, τὸν νόμον λύσας. ψήφισμα γὰρ ποιοῦμεν ὥστε λυθῆναι. τί οὖν φησιν, ἂν ψηφίσησθε μὲν, μηδὲν δὲ πράξητε τῶν ἐφεξῆς, οἷον, ἐὰν μὴ συνέλθητε ὥστε λῦσαι: ἢ συνελθόντες μὴ λύσητε, τί τὸ κέρδος τοῦ ψηφίσματος; οὔτ' ἂν ὑμεῖς πολλὰ ψηφιζόμενοι.) ἀσαφὲς τὸ χωρίον: ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν: οὐκ ἂν ἐδεήθητε πολλῶν ψηφισμάτων, καὶ ἐπράξατ' ἂν δι' αὐτῶν ἢ μικρὰ ἢ οὐδέν. ἐξήρκει γὰρ ἓν ψήφισμα καταγωνίζεσθαι τὸν Φίλιππον.

τὸ γὰρ πράττειν τοῦ λέγειν.) τόπον ἀριστοτελικὸν διὰ τῆς γνώμης ἐγύμνασεν. ἔστι δὲ ὁ τόπος, τὸ αἴτιον τινὶ τοῦ εἶναι, πρῶτόν ἐστιν. αἴτια δὲ τὰ ἔργα τῶν λόγων, πρότερα ἄρα ἐστί. καὶ πάλιν, οὗ ἂν ἕνεκά τι πράττηται, τοῦτο κρεῖττόν ἐστιν. B τίνα γὰρ χρόνον.) καὶ τοῦτο τοῦ δυνατοῦ μέρους ἐστί. πᾶσα γὰρ περὶ καιρὸν καὶ χρόνον ἐξέτασις εἰς τὸ δυνατὸν ἔχει τὴν ἀναφοράν.

ἀλλ' οὐχ ἡδέα ταῦτα;) κατ' ἐρώτησιν. οὐχ ἡδέα φησὶ τὰ παρ' ἐμοῦ λεγόμενα, ὅτι συμβουλεύω τὰ θεωρικὰ γενέσθαι στρατιωτικά; οὐκ ἐγώ φησιν αἴτιος τούτων, ἀλλ' ἡ φύσις τῶν πραγμάτων, ὅτι οὐ δύναμαι εἰσαγαγεῖν, καὶ τὰ ἡδέτερα καὶ τὰ ὠφέλιμα.

πλὴν εἰ δέον εὔξασθαι.) πλὴν εἰ μὴ ἄρα φησὶν ἐν τούτῳ ἀδικῶ, ἐν ᾧ οὐκ εὔχομαι καὶ ἑκάτερα ὑμῖν προσγενέσθαι, καὶ τὰ ἡδέα, καὶ τὰ ὠφέλιμα.

εὔξασθαι μὲν γὰρ, ὦ ἄνδρες ἀθηναῖοι.) τί ζητεῖτε φησὶ παρὰ τοῦ συμβούλου; εὐχὴν ὡς ἔοικεν ἀπαιτεῖται τοῦτο. οὐ γὰρ μόνον ῥᾴδιόν ἐστι τοῦτο, ἀλλὰ καὶ ἡδύ. εὔχεται γάρ τις, ὅ,τι καὶ βούλεται. τὸ δὲ δέον προσέθηκε, συντρέχων ταῖς γνώμαις τῶν φιλοσόφων. εἰσὶ γὰρ αὐτῶν οἵ φασι, μὴ δεῖν εὔχεσθαι περὶ τῶν ἐφ' ἡμῖν, ἢ καὶ ἴσως ἀνωφελὲς τὸ τῆς εὐχῆς ἡγούμενος.

εἰ δέ τις ἡμῖν ἔχει τὰ θεωρικά.) οὐκ ἔστιν ἀντίθεσις· ἀλλὰ νόημα ἀποκλεῖον τῆς ἀναβολῆς τὸν δῆμον. ἵνα γὰρ μὴ μέλλοντας πόρους περιζητῶσιν, ἐπειγόντων τῶν πραγμάτων: διὰ τοῦτο εἶπεν, ὅτι θαυμάζω εἴ τις εὐπορῆσαι τῶν ἀ- C πόντων πρὸς ἃ δεῖ δυνήσεται. οἱ γὰρ μέλλοντες πόροι, οὐδὲν ποιοῦσι πρὸς τὰ παρόντα. αἱ γὰρ νῦν πράξεις, οὐ μέλλοντας πόρους ἀπαιτοῦσιν. καὶ μισθὸν ἕξετε.) μείζονα χρημάτων αὐτοῖς εὐπορίαν ὑποτίθεται. ὁ γὰρ μισθὸς καθημερινὴ δόσις ἐστὶ χρημάτων. τὰ δὲ θεωρικὰ, ταῖς ἱερομηνίαις ἐλάμβανον. οὔτοι σωφρόνων, οὐδὲ γενναίων.) σωφρόνων, ἀντὶ τοῦ συνετῶν. γενναίων δὲ, εὐγενῶν: ἐλευθέρων, οὐχὶ ἰσχυρῶν.

οὐδ' ὑπὲρ μὲν κορινθίους.) ἀπὸ κοινοῦ τὸ οὐδαμῶς σωφρόνων ἐστὶν, οὐδὲ γενναίων. ὑπὲρ μὲν κορινθίους καὶ μεγαρέας οὓς ἔστιν ἕλληνας ὄντας στρατεύεσθαι, ὑπὲρ δὲ φίλιππον, τὸν βάρβαρον ὄντα, μή. αἱ δὲ αἰτίαι αἱ περὶ μεγαρέων καὶ κορινθίων, αὗται. οἱ μεγαρεῖς, τὴν ὀργάδα περιέτεμνον. οἱ δὲ κορίνθιοι συνεμάχουν τοῖς μεγαρεῦσι. καὶ διὰ τοῦτο, εἰς πόλεμον ἀθηναίοις κατέστησαν. ὀργὰς δὲ ἐκαλεῖτο ἡ χώρα, ἢ διὰ τὰ ὄργια τῶν θεῶν, ἢ διὰ τὸ ἀργὴν εἶναι καὶ ὀργᾶν ἐν αὐτῇ.

ἀλλὰ δικαίου πολίτου.) ἐντεῦθεν μεταβέβηκεν ἐπὶ τὸ τρίτον τοῦ λόγου μέρος, ἐπιλογικὸν μὲν εἶναι δοκοῦν, ἔχον δὲ καταδρομὴν τοῦ, τε νόμου τοῦ περὶ τῶν θεωρικῶν, καὶ τοῦ θέντος αὐτόν. τέταχε δὲ ἀκολούθως τοῦτο τὸ μέρος. εἰ γὰρ διὰ τὰ

χρήματα

Ego uerò, ſi nunc, inquit, occubuero, non tantum iuuabo neminem: ſed & nocebo: liberè ſententiam dicturis ſuggeſtum formidabilius effecturus.

Sed priuſquam hæc comparata fuerint.) Obiectionem remouet, Legem nihil uerearis. occurrit igitur ancipiti concluſione: Si legibus, inquit, uiolatis, pœnas non dedero: id quidem tyrannicum fuerit. Sin adire diſcrimen eſt neceſſe: nónne demens ero, qui me in certum periculum conijciam?

Ac ne illud quidem.) Obiectionem corrigit: Nihil metuas Demoſthenes, ſi legem ſuſtuleris. Decretum enim facimus de ea tollenda. Quid igitur, inquit, ſi & decreueritis, & nihil deinde quod ad rem pertineat, feceritis? ueluti, ſi ad eam tollendam non conueneritis, aut, congreſsi non ſuſtuleritis: quæ futura eſt decreti utilitas?

Neque uos multa decernentes.) Obſcurus locus: quod uerò dicit, ſic eſt accipiendum: Non eguiſſetis multis decretis, per quæ aut parum aut nihil conficeretis. Satis enim fuiſſet, unum decretū feciſſe ad Philippum debellandum. Nam cum facta dictis.) Locum Ariſtotelicum in hac ſententia tractauit. Is uerò locus eſt talis: Quod alicui rei cauſa eſt ut ſit, id primum eſt: Cauſæ autem ſunt facta dictorum: Priora igitur erunt. Ac iterum: Cuius gratia aliquid fit, id potius eſt. Quod enim tempus.) Et hoc ad partem facultatis pertinet. Omnis enim de occaſione & tempore diſputatio, ad facultatem referenda eſt.

Sed hæc iucunda non ſunt?) Interrogatiuè. Non iucunda, inquit, eſt mea oratio, quòd ſuadeo, ut theatrales pecuniæ fiant militares? Non ego, inquit, in culpa ſum, ſed natura harum rerum, quæ non ſinit, iucunda ſimul ſuadere & ſalutaria. Niſi cum uota facienda eſſent.) Niſi fortè in hoc, inquit, delinquo, quòd uota non facio; ut uobis utraque contingant, & iucunda & ſalutaria.

Nam uota quidem facere.) Quid, inquit, à conſiliario poſtulatis? optandum iſtuc eſt, ut apparet. Eſt enim non modo facile, ſed etiam ſuaue. Optare enim licet, quicquid uel libitum fuerit. Addidit uerò τὸ δέον, id eſt, cum oporteat, ut cum ſententijs Philoſophorum congrueret: quorum ſunt qui dicant: Non exoptanda eſſe ea, quæ in noſtra poteſtate ſint: aut fortaſsis, irrita eſſe uota, indicare uoluit.

Si quis uerò poſsit theatralem.) Non eſt obiectio, ſed ſententia, qua cauet, ne populus diu moretur. Ne enim multo poſt pecuniam quærant, cum negocia uehementer urgeant: propterea dixit, ſe mirari, ſi cui copia eſſe poſsit eorum quæ abſunt, ad ea quæ neceſſaria ſunt. Nam futuri commeatus, nihil faciunt ad præſentia negocia. Quæ negocia non quærendam, ſed quæſitam pecuniam poſtulant.

Etiam mercedem habebitis.) Maiorem pecuniæ copiam eis proponit. Merces enim pecunia eſt, quæ quotidie numeratur. theatralem uerò tantum in ſolennibus feſtis accipiebant.

Non certè prudentium aut generoſorum.) σωφρόνων, pro prudentium. γενναίων, pro nobilium, ingenuorum, * non pro fortium.

Neque cum cōtra Corinthios.) Repetendum eſt: Nequaquam prudentium aut generoſorum eſt, Megarenſibus quidem & Corinthijs, hoc eſt, Græcis, inferre bellum: Philippo autem, qui eſt Barbarus, non item. Hæ autem belli aduerſus Megarenſes & Corinthios ſuſcepti, cauſæ fuerunt: Cum Megarenſes conſecratæ terræ partem, quam ὀργάδα uocant, ſibi uendicarent, eoſque Corinthij iuuarēt: ab Athenienſib. bello petiti ſunt. ὀργὰς autē regio uocabatur, uel propter ὄργια, id eſt feſta deorum: uel quòd ignaua iaceret, & ultrò in ea herbæ naſcerentur. Sed boni ciuis.) Hinc ad tertiā orationis partē tranſit, quæ quidem epilogica uidetur: ſed tamen & legem de theatrali pecunia exagitat, & eiuſdem autorem. Apto autem ordine collocata eſt hæc pars. ſi enim propter

 pecuniam

χρήματα διεφθάρη τὰ πράγματα τῆς πόλεως, αἴτιος δὲ τούτων ὁ νόμος· ἄξιον ἦν καταδραμεῖν αὐτοῦ τε, καὶ τοῦ θέντος αὐτόν. ἡ δὲ καταδρομὴ γέγονεν ἐπὶ ἀντεξετάσει τῶν νῦν πολιτευομένων, καὶ τῶν προγόνων. κἀκείνοις μὲν ἑαυτὸν ἀπείκασε. τούτων δὲ καθήψατο, καὶ διχόθεν ἑαυτὸν συνέστησεν. ἐξ ὧν τε τούτους οὐ μιμεῖται, καὶ τοὺς παλαιοὺς ἐζήλωκε κατὰ ἔθη, καὶ τῷ τρόπῳ τῆς πολιτείας, οὐ τοῖς κατορθώμασιν. καὶ σκέψασθε.) εἰς ταύτην τὴν ἐξέτασιν ἐχώρησεν, ἣν διεῖλεν εἰς τρία. πῶς μὲν ἐπολιτεύοντο πρὸς τοὺς Ἕλληνας; πῶς δὲ πρὸς τὴν πόλιν; πῶς δὲ τὰ καθ' ἑαυτοὺς ἴδια; ὑπήκοον δὲ ὄντα ταύτην τὴν χώραν.) οἱ μὲν περδίκκαν εἶναί φασι τὸν ἐνεγκόντα τοὺς φόρους ἀθηναίοις· οἱ δὲ, Φίλιππόν τινα τῶν Φιλίππου πρόγονον. μόνοι δὲ ἀνθρώπων.) ὅτι οἱ μὲν τοῖς ἄλλοις φθονοῦντες, καθαιροῦσιν αὐτῶν τὴν δόξαν διὰ τοῦ λοιδορεῖν. τὴν δὲ ἐκείνων εὔκλειαν, οὐδεὶς ἀφανίσαι δεδύνηται. ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων.) οὐ περὶ τῶν οἰκοδομημάτων λέγει, ἀλλὰ τῶν ἀναθημάτων. καὶ γὰρ τούτων εἰσὶν ἴσως ὑπερβολαί. ἀλλ' αὔξει τὰ ἀναθήματα διὰ τὰς πράξεις ἐξ ὧν ἀνετέθησαν. ὁ γὰρ ξέρξου δίφρος, καὶ ὁ ἀκινάκης μαρδονίου, ὁ μὲν, ἐκ σαλαμῖνος· ὁ δὲ, ἐκ πλαταιέων ἀνετέθησαν. τούτων δὲ τῶν κατορθωμάτων, οὐδεὶς ἐξεῦρεν ὑπερβολήν. πῶς ὑμῖν ὑπὸ τῶν χρηστῶν.) εἰρωνεία τὸ σχῆμα. τῆς δὲ εἰρωνείας ἡ μὲν, εὐθὺς ἐπαγόμενον ἔχει τὸν ἔλεγχον διὰ τοῦ λόγου, ὥστε δείκνυσθαι ὅτι εἰρωνεία ἐστίν. ὅπερ ἐστὶ νῦν παρὰ τῷ δημοσθένει. ἡ δὲ, διὰ τῶν πραγμάτων, ὅπερ ἐστὶ παρὰ τῷ πλάτωνι. εἰρωνευσάμενος γὰρ ὅτι οὐδὲν οἶδα, καὶ παρὰ σοῦ δέομαι μαθεῖν, ἐπάγει μετ' οὐ πολὺ, τὸν διὰ τῶν πραγμάτων ἔλεγχον, δι' οὗ δείκνυσιν ὅτι ἐξ ἀρχῆς εἰρωνεία ἦν. ἀλλ' ὅσης ἅπαντες ὁρᾶτε.) ἀντεξετάζει τὴν πολιτείαν τὴν περὶ τὸν εὔβουλον ὁμοίως ἀπὸ τῶν τριῶν, τῶν τε ἑλληνικῶν, καὶ τῶν ἰδίων, καὶ τῶν πολιτικῶν.

οὓς δ' ἐν τῷ πολέμῳ.) ἐπὶ τὸν συμμαχικὸν πόλεμον, ἀπέστησαν αὐτῶν χῖοι, καὶ ῥόδιοι, καὶ βυζάντιοι, καὶ ἕτεροί τινες. πολεμοῦντες οὖν πρὸς αὐτοὺς, τοὺς μὲν, ἐκτήσαντο· τοὺς δὲ, οὐκ ἠδυνήθησαν. εἶτα εἰρήνην ἐποιήσαντο, ὥστε πάντας αὐτονόμους ἐᾶσαι τοὺς συμμάχους. τοῦτο οὖν φησιν ὅτι καὶ οὓς προσηγαγόμεθα κατὰ πόλεμον, καὶ τούτους διὰ τὴν εἰρήνην ἀπολωλέκαμεν. τοῦ δὲ τοιαύτην γενέσθαι τὴν εἰρήνην αἴτιος εὔβουλος οὕτω διοικῶν τὰ πράγματα.

ἀλλ' ὦ τᾶν.) ἀνθυποφορὰν λύει διὰ τὸ τὰ πολιτεύματα τὰ εὐβούλου διεξιέναι.

ἐπάλξεις.) ταῦτα ἦν τὰ εὐβούλου πολιτεύματα, τὸ ποιῆσαι τὰς ἐπάλξεις λευκοχρίστους.

λήρους.) οἱ μέν φασι τοὺς κρουνοὺς λέγειν παρὰ τὸ λίαν ῥεῖν. οἱ δὲ τὰ λήρου ἄξια πράγματα. ἐκεῖθεν γὰρ καὶ ὁ ἀριστοφάνης, παρὰ τὸ ληρεῖν ἐποίησε τὴν σύνθεσιν θέλων τινὰ ὑβρίσαι, ἐν τῷ κρονοχυτρολήραιον.

ὧν οἱ μὲν ἐκ πτωχῶν.) αἰνίττεται τοὺς περὶ τὸν δημάδην, εὔβουλον, φρύνωνα, φιλοκράτην, καὶ εἴ τινες ἕτεροι.

τῶν δημοσίων οἰκοδομημάτων.) οὐ τῶν ὑπὸ περικλέους κἀκείνων τῶν ἀνδρῶν γεγονότων: ἀλλ' ὧν οὗτοι τῇ πόλει κατεσκεύασαν κρηνῶν, καὶ λήρων. ἴσως δὲ τῶν ἀναθημάτων λέγει. ἐν δὲ τῷ λέγειν τοῦτο, παροξύνει αὐτοὺς ἐπὶ τῶν ῥητόρων. φύσει γὰρ φθονερὸν, τὸ τῶν ἀνθρώπων γένος.

τί δὴ τὸ πάντων αἴτιον.) αἰτίας παράθεσις δι' ὧν προτρέπεται ποιεῖν αὐτοὺς τὰ δέοντα. διὰ γὰρ τοῦ λέγειν ὅτι διὰ τοῦ ἐξιέναι ηὐτύχουν, εἰς ζῆλον αὐτοὺς τούτων καθίστησιν.

ἐκνενευρισμένοι.) τῶν νεύρων ἀφῃρημένοι. νεῦρα δὲ καὶ δύναμιν τῆς πόλεως καλεῖ τοὺς συμμάχους. ἐπειδὴ δὲ τραχεῖα ἡ μεταφορὰ, ἐπήγαγε τὸ περιῃρημένοι. ἀπὸ μεταφορᾶς καὶ τοῦτο μέρους σώματος εἶπεν, ἐμμένων τῇ τροπῇ τοῦ ἐκνενευρισμένοι.

ἢ βοΐδια.) γράφεται καὶ βοηδρόμια. καὶ γράφουσιν ὅτε ἔπεμψε τὴν λείαν ὁ χάρης, βοηδρόμια ἦν. τὸ δὲ βοΐδια, ὑποκοριστικόν ἐστιν ἐν συναιρέσει ἀττικῷ ἔθει.

καὶ

A pecuniam Reſpublica detrimenta cepit, eorumque detrimentorũ cauſa lex fuit: decuit tam ipſam, quàm autorem eius, reprehendi. Facta eſt autem reprehenſio per comparationem illius temporis magiſtratuũ cum ueteribus: quorum his ſe ſimilem facit, in illos uerò inuehitur: ſeque bifariam cõmendat: cùm quòd illos non imitetur: tum quòd alteris, non quidem rebus præclarè geſtis, ſed more & conſuetudine gerendæ Reipublicæ ſimilem ſe eſſe ſtudeat.

Atqui conſiderate.) Ad hanc diſputationem accedit, quam trifariam diuiſit: quemadmodum ſe geſſerint erga Grçcos: quomodo erga Rempublicam: quę priuata eorum uita fuerit.

Dicto autem audiens erat iſtam regionem qui.) Alij Perdiccam fuiſſe dicunt, qui Athenienſibus tributa pénderet: alij Philippum quendá, unum ex huius Philippi maioribus.

Soli uerò mortalium.) Quia qui alijs inuident, maledictis illorum gloriam deſtruunt. Illorum uerò celebritatem extinguere, aut obſcurare nemo potuit.

Proinde nemini poſterorum.) Non de ædificijs loquitur, aut de donarijs: nam hæc ſuperari fortaſſe poſſunt. ſed exaggerat donaria ꝓpter res geſtas, ob quas dedicata ſunt. Ná Xerxis ſella, & Mardonij acinaces, altera è Salaminia, alter è Platæenſi uictoria ſunt de-
B dicati. Quibus facinoribus nemo quicquam reperit excellentius. Quomodo uobis à commodis.) Figura ironia eſt. Habet autem ironia quædam ſtatim oratione adiunctum argumentum, unde appareat eſſe ironiam, id quod modò fit à Demoſthene: alia rebus ipſis: cuius generis Platonicæ illæ ſunt, cum ſe nihil ſcire ſimulat Socrates, & ab alio uelle diſcere profitetur: nec multò pòſt, rebus ipſis refutationem adijcit: qua oſtẽdit, ſe ab initio ſimulaſſe. Sed quantam omnes uidetis.) Per contentionem diſputat de Eubuli adminiſtratione, eam item cum rebus Græcis & priuatis & ciuilibus comparando. Quos uerò in bello.) In bello ſociali defecerunt ab eis Chij, Rhodij, Byzantij, & alij quidam. Bello igitur ſuſcepto, alios recuperarunt, alios ſubigere non potuerunt. Deinde pacem ea conditione fecerunt, ut ſocij omnes liberi eſſent. Hoc igitur uult, cum ait, Eos etiam quos bello parauimus, pace amiſimus. At ut talis pax fieret, in cauſa, inquit, fuit Eubulus, ſua illa rerum adminiſtratione. Sed heus tu.) Obiectionem ſoluit, recenſendis Eubuli rebus geſtis.

Propugnacula.) Hoc Eubulus ſtudio habuit, ut propugnacula candidis tectorijs induceret.

λήρους, nugas.) Alij dicunt eum fontes ſeu aquæductus innuere, παρὰ τὸ λίαν ῥεῖν, à ualde fluendo. alij, nu-
C gaces res. Nam inde etiam Ariſtophanes, à delirando compoſitionem fecit, cum quendam exagitandi gratia nominat, κρονοχυτρολήραιον, id eſt, Saturnijs ollis delirantem.

Quorum alij è mendicis.) Demadem, Eubulum, Phrynonem, Philocratem, & alios eiuſdem generis innuit.

Publicis ædificijs.) Non illis quæ à Pericle & eiuſdem ætatis uiris extructa fuerunt, ſed quos iſti ciuitati apparauerãt, fontibus & nugis. Fortaſsis autem de donarijs loquitur. Hiſce uerò dictis, populum in oratores cõcitat. Inuidum enim eſt mortalium ingeniũ.

Quæ igitur cauſa eſt omnium?) Explicatio cauſarum, qua eos ad faciendum officium exhortatur. Ná cum dicit, illos, quòd ipſi militarint, fuiſſe felices: ad eorum æmulationem eos excitat.

Eneruati.) Neruis ſpoliati. Neruos autem & uires reipublicę, ſocios uocat. Sed quia dura eſt translatio, ſubiungit, περιῃρημένοι, mutilati: quæ translatio & ipſa ſumpta eſt à parte corporis, ut in uerſo dicendi genere, ex quo eſt τὸ ἐκνενευρισμένοι, perſeueraret.

Aut bucculas.) Scribitur etiam βοηδρόμια. id enim feſtum, miſsis à Charete manubijs, actum fuit: ſed βοΐδια diminutiuum eſt, contractum Atticorum more.

Et